# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: eco-aa

*Στράττις ὁ κωμικός* · Strattis the Comic Poet

## Fragments on Athenian Life

*Ἀποσπάσματα περὶ τοῦ Ἀθηναϊκοῦ Βίου*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1 καὶ τῶν μὲν ἄλλων οὐκ ἐμέλησέ μοι μελῶν, Εὐριπίδου δὲ δρᾶμα δεξιώτατον διέκναις' Ὀρέστην, Ἡγέλοχον τὸν Κυννάρου μισθωσάμενος τὰ πρῶτα τῶν ἐπῶν λέγειν.

book 2.1 τῶν δὲ διδύμων ἐκγόνων

book 2.2 σεμιδάλιδος

book 3.1 καὶ τὴν Λαγίσκαν τὴν Ἰσοκράτους

book 3.2 παλλακὴν εὑρεῖν με

book 3.3 συκάζουσαν, εἶθ' ἥκειν

book 3.4 ταχὺ τὸν αὐλοτρύπην αὐτόν.

book 4.1 ὑπογάστριον θύννου

book 4.2 τι κἀκροκώλιον δραχμῆς ὕειον

book 8 διφροφόροι

book 9 σκῶρ

book 11.1 αὐτίκα δ' ἥρπασε

book 11.2 τεμάχη θερμάς

book 11.3 τε κάπρου

book 11.4 φλογίδας ἔβρυχέ τε πάνθ' ἅμα.

book 13.1 [spk_β]τὰ δ' ἄλφιθ' ὑμῖν πῶς ἐπώλουν; Β. τεττάρων δραχμῶν μάλιστα τὸν κόφινον. Α. τί λέγεις; μέτρῳ ἐχρῶντο κοφίνῳ; ἢ . . . τοῦτ' αὔθ' ὅτι οἴνου κόφινος, δυνάμενος

book 13.2 τρεῖς χόας

book 13.3 πυρρῶν[ln_5]ταῖς κοφίναις

book 13.4 ταὐτὰ ταῦτα δυνάμενος.

book 14.1 ἁλμυρόν θ' ὕδωρ, ἕτερόν

book 14.2 τε λεπτὸν ἐν ἁλίᾳ κεκομμένον.

book 22.1 Ἑρμῆς, ὃν ἕλκους' οἱ μὲν ἐκ

book 22.2 προχοιδίου, οἱ δ' ἐκ καδίσκου γ' ἴσον ἴσῳ κεκραμένον.

book 23.1 Χῖος

book 23.2 παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν.

book 24.1 ὑποδήματα

book 24.2 σαυτῷ πρίασθαι τῶν ἁπλῶν

book 25.1 πολλοὺς ἤδη μεγάλους

book 25.2 τε φάγρους ἐγκάψας

book 26 [spk_α]Α. εἰσὶν δὲ πόθεν αἱ παῖδες αὗται καὶ τίνες; Β. νυνὶ μὲν ἥκουσιν Μεγαρόθεν, εἰσὶ δὲ Κορίνθιαι· Λαῒς μὲν ἡδὶ Μεγακλέους.

book 27.1 πολλῶν

book 27.2 φλυάρων καὶ ταῶν ἀντάξια, οὓς βόσκεθ’ ὑμεῖς ἕνεκα τῶν ὠκυπτέρων.

book 28 [spk_β]ἡ σφύραινα δ’ ἐστὶ τίς; Β. κέστραν μὲν ὔμμες ὠττικοὶ κικλήσκετε.

book 29.1 πνικτόν

book 29.2 τι τοίνυν . . ἔστω

book 29.3 σοι

book 29.4 συχνὸν

book 29.5 τοιοῦτον.

book 30.1 τὸν πέπλον δὲ τοῦτον ἕλκους’ ὀνεύοντες

book 30.2 τοπείοις ἄνδρες ἀναρίθμητοι εἰς ἄκρον ὥσπερ ἱστίον τὸν ἱστόν.

book 31 ὑπογάστριά θ’ ἡδέα θύννων

book 32 Μακεδόνισσαν

book 33.1 καὶ λέγ’ ὅτι μύρον αὐτῇ φέρεις

book 33.2 τοιοῦτον, οἷον οὐ Μέγαλλος πώποτε ἥψησεν, οὐδὲ Δεινίας ᾡγύπτιος οὔτ’ εἶδεν οὔτ’ ἐκτήσατο.

book 34.1 οἶσθ’ ᾧ προσέοικεν, ὦ Κρέων, τὸ βρέγμα

book 34.2 σου; ἐγᾦδα· δίνῳ περὶ κάτω

book 34.3 τετραμμένῳ.

book 35 Μυσῶν λείαν

book 36.1 ἐν

book 36.2 τοῖς βαλανείοις

book 36.3 προκέλευθος ἡμέρα ἁπαξάπασα γῆς

book 36.4 στρατιαὶ σιδαρέων.

book 37.1 ὑμεῖς

book 37.2 τε πάντες ἔξιτ’ ἐπὶ τὸ Πύθιον ὅσοι πάρεστε, μὴ λαβόντες λαμπάδας μηδ’ ἄλλο μηδὲν ἐχόμενον

book 37.3 Φιλυλλίου.

book 38 οὐ λίνον λίνῳ συνάπτεις.

book 39 ἐγχέλεων ἀνεψιός

book 40.1 ἐγᾦδα

book 40.2 τοὐπίνικος ὀργισθεὶς ἔφη, τῷ στόματι δράσω

book 40.3 τοῦθ’ ὅπερ ...

book 41.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ᾗ μήποτ’, ὦ παῖ Ζηνός, ἐς

book 41.2 ταὐτὸν μόλῃς, ἀλλὰ παραδοὺς

book 41.3 τοῖς Λεσβίοις

book 41.4 χαίρειν ἔα.

book 42.1 ἐρινὸν οὖν

book 42.2 τιν’ αὐτῆς

book 42.3 πλησίον νενόηκας ὄντα;

book 43 οὐδ’ ἐν κοπρίᾳ θησαυρὸν ἐκβεβλημένον

book 44.1 κᾆτ’ εἰς ἀγορὰν ἐλθόντες ἁδροὺς ὀψωνοῦσιν μεγάλους

book 44.2 τε φάγρους καὶ Κωπᾴδων ἁπαλῶν

book 44.3 τεμάχη

book 44.4 στρογγυλοπλεύρων.

book 45.1 παραινέσαι δὲ σφῷν

book 45.2 τι βούλομαι

book 45.3 σοφόν· ὅταν

book 45.4 φακῆν ἕψητε, μὴ ’πιχεῖν μύρον.

book 46.1 εἶθ’ ἥλιος μὲν

book 46.2 πείθεται

book 46.3 τοῖς

book 46.4 παιδίοις ὅταν λέγωσιν ‘ἔξεχ’ ὦ φίλ’ ἥλιε‘.

book 47.1 ξυνίετ’ οὐδὲν πᾶσα Θηβαίων πόλις. οὐδέν

book 47.2 ποτ’ ἄλλ’. οἳ πρῶτα μὲν τὴν

book 47.3 σηπίαν ὀπιτθοτίλαν, ὡς λέγους’, ὀνομάζετε, τὸν ἀλεκτρυόνα δ’ ὀρτάλιχον, τὸν ἰατρὸν δὲ[ln_5]σάκταν, βέφυραν τὴν γέφυραν, τῦκα δὲ τὰ σῦκα, κωτιλάδας δὲ τὰς

book 47.4 χελιδόνας, τὴν ἔνθεσιν δ’ ἄκολον, τὸ γελᾶν δὲ κριδδέμεν, νεασπάτωτον δ’ ἤν

book 47.5 τι νεοκάττυτον ᾖ.

book 48 οὐ σχοινί’, οὐδὲ στραγγαλίδες εἰσί.

book 51.1 εἰ μηδὲ χέσαι γ’ αὐτῷ σχολὴ γενήσεται, μηδ’ εἰς ἀσωτεῖον

book 51.2 τραπέσθαι, μηδ’ ἐὰν αὐτῷ ξυναντᾷ τις, λαλῆσαι μηδενί.

book 52 πρόσαγε τὸν πῶλον ἀτρέμα, προσλαβὼν τὸν ἀγωγέα βραχύτερον· οὐχ ὁρᾷς ὅτι ἄβολος ἔτ’ ἐστί;

book 53 κοχῶναι

book 54.1 Σαννυρίωνος

book 54.2 σκυτίνην ἐπικουρίαν

book 55 κομίσειέ μοί τις θυμαλώπων ὧδε μεστὴν ἐσχάραν;

book 56.1 (εἴτε) ῥιπίδα εἴτε

book 56.2 σκιάδειον

book 57.1 οἶνον γὰρ

book 57.2 πιεῖν οὐδ’ ἂν εἷς δέξαιτο θερμόν, ἀλλὰ πολὺ τοὐναντίον

book 57.3 ψυχόμενον ἐν τῷ φρέατι καὶ χιόνι μεμιγμένον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 58 αἱ δ’ ἀλεκτρυόνες ἅπασαι καὶ τὰ χοιρίδια τέθνηκε καὶ τὰ μίκρ’ ὀρνίθια.
book 59.1 ὁ δέ τις
book 59.2 ψυκτῆρ’, ὁ δέ τις κύαθον
book 59.3 χαλκοῦν κλέψας ἀπορῶν κεῖται, κοτύλη δ’ ἀνὰ χοίνικα μάττει.
book 60 [spk_β]γαλῆν ὁρῶ. Β. ποῖ, πρὸς θεῶν, ποῖ ποῖ γαλῆν;
book 60.1 [spk_α]Α. γαλήν’. Β. ἐγὼ δ’ ᾤμην
book 60.2 σε γαλῆν λέγειν ὁρῶ.
book 61.1 οἶνος κοχύζει
book 61.2 τοῖς ὁδοιπόροις
book 61.3 πιεῖν μέλας
book 61.4 Σκιάθιος ἴσον ἴσῳ κεκραμένος.
book 62.1 τί δ’ ὥσπερ οἱ σταδιοδρόμοι
book 62.2 προανίστασαι;
book 63.1 τὰ θυγάτρια
book 63.2 περὶ τὴν λεκάνην ἅπαντα
book 63.3 περιπεπλιγμένα
book 66.1 πρασοκουρίδες, αἳ καταφύλλους ἀνὰ κήπους
book 66.2 πεντήκοντα
book 66.3 ποδῶν ἴχνεσι βαίνετ’, ἐφαπτόμεναι
book 66.4 ποδοῖν
book 66.5 σατυριδίων μακροκέρκων,[ln_5]χοροὺς ἑλίσσουσαι
book 66.6 παρ’ ὠκίμων πέταλα καὶ θριδακινίδων εὐόσμων
book 66.7 τε σελίνων
book 67 βοῦς ἐμβαίνει μέγας
book 71 γαλῇ χιτώνιον
book 72 ἀπεμυθήσω
book 73 γελάσιμον
book 74 διατράμιν
book 75 δυσόμοια
book 77 λελεπασμένον
book 78 ὁμοπτέρους
book 79 ἡ προγονός
book 80 τρῶγες

Eulogikon public reading copy · View original HTML at eulogikon.org